eul_wid: bhm-af

*Ἐπίχαρμος ὁ Συρακόσιος* · Epicharmus of Syracuse

# Fragments of Comic Wisdom

*Ἀποσπάσματα περὶ Κωμικῆς Σοφίας*

**Period:** *Ἀρχαϊκή* Archaic
**Dialect:** *Δωρική* Doric
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Συναγωγή* Collection

1 καδδαιμονέστερος

2 τεῖδ’ ἔνεστι πολλὰ καὶ παν[τ]οῖα, τοῖς χρήσαιό κα ποτὶ φίλον, πὸτ ἐχθρὸν ἐν δίκαι λέγων, ἐν ἁλίαι, ποτὶ πονηρόν, ποτὶ καλόν τε κἀγαθόν, ποτὶ ξένον, ποτὶ δύσηριν, ποτὶ πάροινον, ποτὶ βάναυσον, εἴτε τις ἄλλ’ ἔχει κακόν τι, καὶ τούτοισι κέντρα τεῖδ’ ἐνό. ἐν δὲ καὶ γνῶμαι σοφαὶ τεῖδ’ αἷσιν ε[ἰ] πείθοιτό τις, δεξιώτερός τέ κ’ εἴη βελτίων τ’ ἐς πά[ν]τ’ ἀνήρ. κο]ὔ τι πολλὰ δεῖ λέγ[ε]ιν, ἀλλ’ ἓμ μόνον [τ]ούτων ἔπος ποττὸ πρᾶγμα ποτιφέροντα τῶνδ’ ἀε[ὶ] τὸ συμφέρον, αἰτίαν γὰρ ἦχον ὡς ἄλλως μὲν εἴην [δ]εξιός, μακρολόγος δ’, οὔ κα δυναίμαν ἐμ β[ρ]αχεῖ γνώμα[ς λέγ]ειν· ταῦτα δὴ ’γὼν εἰσακούσας συντίθημι τὰν τέχναν τάνδ’, ὅ[π]ως εἴπηι τι 〈c〉 · ,Ἐπίχαρμος σοφός τις ἐγένετο [πόλλ’ ὃς εἶ]π’ ἀστεῖα καὶ παντοῖα καθ’ ἓν [ἔπος] λέγων [πεῖραν] αὐταύτου διδοὺς ὡς καὶ β[ραχ [ ..... ]ε μαθὼν ἅπας ἀνὴρ φαν[ [ ..... ] . ησει ποτ’ οὐδέν’ ἔπος ἀπ[ [ ...... ]οντα λυπήσει τι τῶνδ[ [ ...... ]τρ[ .. ]α δρῶντα τοῖσδ[ [ ...... ]ορητε πολυμαθη [ [ ...... ]ων[ .. ]ρτ[ .. ] ἐρῶ δὲ καὶ τ[ [ ...... ]ιτε τούτο ις γα κακὰ [ ... ]χειν [ [ἄλλος ἄ]λλωι γὰρ [γ]έγηθε κοὔ τι ταυ[τ [ ...... ]ε πάντα δεῖ τάδ’ ὡς ε[ [ ...... ἔ]πειτα δ’ ἐν καιρῶι λε[γ [ ......... ]ειμα βραχὺς οι[ . . . . . . . . . . . .

3 (n) ’Επ]ιχάρμο[υ]. [τοὺς τρόπους χείρω γυναῖ]κα φάμ’ ἐγὼ τῶν θηρ[ίων] [εἶμεν. ὅστις γ]ὰρ λέοντι σῖτον ἢ πότον [φέρει] ἢ κυσὶν Μολοσσικοῖς[ιν ἢ ... ,〉 [θῆρε]c αἰκάλλοντι το[ῖ]σι[ν εὖ ποιεῦσιν εὐμενεῖς], ἁ [γ]υνὰ δὲ τὸν τρέφοντα [πρῶτον εἴθισται δακεῖν].

4 τὸ δὲ γαμεῖν ὅμοιόν ἐστι τῷ τρὶς ἓξ ἢ τρεῖς μόνους ἀπὸ τύχης βαλεῖν· ἐὰν μὲν γὰρ λάβῃς τεταγμένην τοῖς τρόποις καὶ τἄλλ’ ἄλυπον, εὐτυχήσεις τῷ γάμῳ· εἰ δὲ καὶ φιλέξοδόν τε καὶ λάλον καὶ δαφιλῆ, οὐ γυναῖχ’ ἕξεις, διὰ βίου δ’ ἀτυχίαν κοσμουμέναν.

5 ποτεκλεπτόμαν

6 ἁ κίσσα τὰν Σειρῆνα μιμουμέν α ,